# 07.1.2B+1.3 Μενάνδρου Δύσκολος als docx



***Πυ·*** οὐκ ἴστε τὸ κακὸν οἷόν ἐστι. κατέδεται
ἡμᾶς. ***Χαι·*** τυχὸν ἴσως <ὅδ'> ὀδυνώμενός τι νῦν
τετύχηκε· διόπερ ἀναβαλέσθαι μοι δοκεῖ
αὐτῶι προσελθεῖν, Σώστρατ'· εὖ τοῦτ' ἴσθ' ὅτι
πρὸς πάντα πράγματ' ἐστὶ πρακτικώτερον
εὐκαιρία. ***Πυ·*** νοῦν ἔχετε. ***Χαι·*** ὑπέρπικρον δέ τι
ἐστὶν πένης γεωργός, οὐχ οὗτος μόνος,
σχεδὸν δ' ἅπαντες. ἀλλ' ἕωθεν αὔριον
ἐγὼ πρόσειμ' αὐτῶι μόνος, τὴν οἰκίαν
ἐπείπερ οἶδα. νῦν δ' ἀπελθὼν οἴκαδε
καὶ σὺ διάτριβε· τοῦτο δ' ἕξει κατὰ τρόπον.
***Πυ·*** πράττωμεν οὕτως. ***Σώ·*** πρόφασιν οὗτος ἄσμενος
εἴληφεν· εὐθὺς φανερὸς ἦν οὐχ ἡδέως
μετ' ἐμοῦ βαδίζων οὐδὲ δοκιμάζων πάνυ
τὴν ἐπιβολ]ὴν τὴν τοῦ γάμου. κακὸν δὲ σὲ
κακῶς ἅπ]αντες ἀπολέσειαν οἱ θεοί,
μαστιγία. ***Πυ·*** τί δ'] ἠδίκηκα, Σώστρατε ;
***Σώ·*** ἐμβᾶς γα]ρ εἰς τὸ χωρίον τι δηλαδή.
***Πυ·*** οὐ μὰ Δί'] ἔκλεπτον. ***Σώ·*** ἀλλ' ἐμαστίγου[1] σέ τις
οὐδὲν ἀδικοῦντα; ***Πυ·*** καὶ πάρεστί γ' οὑτοσί
αὐτὸς – ὑπάγω, βέλτιστε. σὺ δὲ τούτωι λάλει[2].
***Σώ·*** οὐκ ἂν δυναίμην· ἀπίθανός τις εἴμ' ἀεὶ
ἐν τῶι λαλεῖν. ποῖον λέγει[ν δεῖ τουτο]νί;
οὐ πάνυ φιλάνθρωπον β[λέπειν μ]οι φαίνεται,
μὰ τὸν Δί'· ὡς δ' ἐσπούδακ'. ἐ[πανάξ]ω βραχὺ
ἀπὸ τῆς θύρας. βέλτιον. ἀλλὰ κ[αὶ β]οᾶι
μόνος βαδίζων. οὐχ ὑγιαίνειν μοι δοκεῖ.
δέδοικα μέντοι, μὰ τὸν Ἀπόλλω καὶ θεούς,
αὐτόν. τί γὰρ ἄν τις μὴ οὐχὶ τἀληθῆ λέγοι;[3]

***Κν·*** εἶτ' οὐ μακάριος ἦν ὁ Περσεὺς κατὰ δύο
τρόπους ἐκεῖνος, ὅτι πετηνὸς ἐγένετο
κοὐδενὶ συνήντα τῶν βαδιζόντων χαμαί,
εἶθ' ὅτι τοιοῦτο κτῆμ' ἐκέκτηθ' ὧι λίθους
ἅπαντας ἐπόει τοὺς ἐνοχλοῦντας; ὅπερ ἐμοὶ
νυνὶ γένοιτ'· οὐδὲν γὰρ ἀφθονώτερον
λιθίνων γένοιτ' <ἂν> ἀνδριάντων πανταχοῦ.
νῦν δ' οὐ βιωτόν ἐστι, μὰ τὸν Ἀσκληπιόν.
λαλοῦσ' ἐπεμβαίνοντες εἰς τὸ χωρίον
ἤδη· παρ' αὐτὴν τὴν ὁδὸν γάρ, νὴ Δία,
εἴωθα διατρίβειν; ὃς οὐδ' ἐργάζομαι
τοῦτο τὸ μέρος <τοῦ> χωρίου, πέφευγα δὲ
διὰ τοὺς παριόντας. ἀλλ' ἐπὶ τοὺς λόφους ἄνω
ἤδη διώκουσ'. ὢ πολυπληθείας[4] ὄχλου.
οἴμοι, πάλιν τις οὑτοσὶ πρὸς ταῖς θύραις
ἕστηκεν ἡμῶν. ***Σώ·*** ἆρα τυπτήσει γέ με ;
***Κν·*** ἐρημίας οὐκ ἔστιν οὐδαμοῦ τυχεῖν,
οὐδ' ἂν ἀπάγξασθαί τις ἐπιθυμῶν τύχηι.
***Σώ·*** ἐμοὶ χαλεπαίνει<ς>; περιμένω, πάτερ, τινὰ
ἐνταῦθα· συνεθέμην γάρ. ***Κν·*** οὐκ ἐγὼ 'λεγον;
τουτὶ στοὰν νενομίκατ' ἢ τὸ τοῦ Λεώ;
πρὸς τὰς ἐμὰς θύρας, ἐὰν ἰδεῖν τινα
βούλησθε, συντάττεσθ' ἀπαντᾶν; παντελῶς,
καὶ θῶκον οἰκοδομήσατ', ἂν ἔχητε νοῦν,
μᾶλλον δὲ καὶ συνέδριον. ὢ τάλας ἐγώ,
ἐπηρεασμὸς τὸ κακὸν εἶναί μοι δοκεῖ.[5]
***Σώ·*** οὐ τοῦ τυχόντος, ὡς ἐμοὶ δοκεῖ, πόνου
τουτὶ τὸ πρᾶγμά <γ'>, ἀλλὰ συντονωτέρου.
πρόδηλόν ἐστιν. ἆρ' ἐγὼ πορεύσομαι
ἐπὶ τὸν Γέταν τὸν τοῦ πατρός[6]; νὴ τοὺς θεοὺς
ἔγωγ'· ἔχει <τι> διάπυρον καὶ πραγμάτων
ἔμπειρός ἐστιν παντοδαπῶν· τὸ δύσκολον
τὸ τοῦδ' ἐκεῖνος <τάχα γ'> ἀπώσετ', οἶδ' ἐγώ.
τὸ μὲν χρόνον γὰρ ἐμποεῖν τῶι πράγματι
ἀποδοκιμάζω. πόλλ' ἐν ἡμέραι μίαι
γένοιτ' ἄν. ἀλλὰ τὴν θύραν πέπληχέ τις.

---

[1] *ἐμαστίγου: Irrealis der Ggwt. in der Frage auch ohne ἄν*
[2] ***Χαι·*** *(geht ab)*
[3] ***Κν·*** *(geht ins Haus ab)*
[4] *ὢ πολυπληθείας: Gen. causae beim Ausruf*
[5] *τὸν τοῦ πατρός erg. δοῦλον*
[6] ***Σώ·*** *(versteckt sich seitlich)*